Ακαδημία Αθηνών / Academy of Athens

ἀλλήλων μέχρι τινὸς αἰτιᾶται τὰς ἐπαλλαγὰς καὶ τὰς ἀντιλήψεις τῶν σωμάτων ... ἐπὶ τοσοῦτον οὖν χρόνον σφῶν αὐτῶν ἀντέχεσθαι νομίζει καὶ σ υ μ μ έ ν ε ι ν, ἕως ἰσχυροτέρα τις ἐκ τοῦ περιέχοντος ἀνάγκη παραγενομένη διασείσῃ καὶ χωρὶς αὐτὰς διασπείρῃ. || (ἀντίθ. *ἐκπτύεσθαι*). Δημόκριτος Α 152 (DK II 125,38) οὐκοῦν ἐν *κρυμῷ* μὲν ... σ υ μ μ έ ν ε ι (sc. τὸ ἔμβρυον), *ἐν ἀλέᾳ δὲ ὡς τὰ πολλὰ ἐκπτύεται.*

**συμμετρίη** (ἀντίθ. *ἀμετρίη*). Συμμετρία, symmetry, Δημόκριτος Α 167 (DK II 129,15) *σ υ μ μ ε τ ρ ί α ν τε καὶ ἀταραξίαν* 191 *ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μετριότητι τέρψιος καὶ βίου σ υ μ μ ε τ ρ ί ῃ.*

**συμμέτρως.** Μὲ τὸ προσῆκον μέτρο/μὲ τὴ δέουσα ἀναλογία, with the proper measure/in the necessary proportion, Δημόκριτος Α 135 (DK II 116,28) περὶ δὲ τοῦ φρονεῖν ἐπὶ τοσοῦτον εἴρηκεν ὅτι *γίνεται σ υ μ μ έ τ ρ ω ς ἐχούσης τῆς ψυχῆς κατὰ τὴν κρῆσιν.* Πρβλ. *συμμετρίη.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**σύμμιξις** (συνών. *μίξις*, ἀντίθ. *ἀπόκρισις*). Σύμμιξη, mixing, Ἀναξαγόρας 4.14 *πάντων ὁμοῦ ἐόντων οὐδὲ χροιὴ ἔνδηλος ἦν οὐδεμία· ἀπεκώλυε γὰρ ἡ σ ύ μ μ ι ξ ι ς πάντων χρημάτων.* Πρβλ. *συμμίγεσθαι.*

**συμμίσγειν** (ἀντίθ. *ἀποκρίνειν*). Συμμιγνύω, mix together, Ἀρχύτας Α 17 (DK I 429,22) *σ υ μ μ ί σ γ ε ι ν* δὲ λέγουσιν οἱ Πυθαγόρειοι τὸ ἕνα ἐξ ἀμφοτέρων ἀριθμὸν λαβεῖν. || **συμμίσγεσθαι** (συνών. *μειγνύναι, συγκρίνεσθαι*, ἀντίθ. *ἀποκρίνεσθαι, διακρίνεσθαι*). Συμμιγνύομαι/συνενώνομαι, be mixed together/be united, Ἡράκλειτος 67 *ὁπόταν σ υ μ μ ι γ ῇ θυώμασιν* Ἀναξαγόρας 12.7-15 *καὶ ἂν ἐκώλυεν αὐτὸν τὰ σ υ μ μ ε μ ε ι γ μ έ ν α ... καὶ τὰ σ υ μ μ ι σ γ ό μ ε ν ά τε καὶ ἀποκρινόμενα καὶ διακρινόμενα πάντα ἔγνω νοῦς* 17 *οὐδὲν γὰρ χρῆμα γίνεται οὐδὲ ἀπόλλυται, ἀλλ' ἀπὸ ἐόντων χρημάτων σ υ μ μ ί σ γ ε τ α ί τε καὶ διακρίνεται. καὶ οὕτως ἂν ὀρθῶς καλοῖεν τό τε γίνεσθαι σ υ μ μ ί σ γ ε σ θ α ι καὶ τὸ ἀπόλλυσθαι διακρίνεσθαι.* Πρβλ. *σύμμιξις.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ